13 ΔΙΞΑΙ ‖ 15 ΚΙΤΑΙ ‖ 17 *ἣν* Bl Bch coll. Eurip. Med. 30, fort. recte ‖ 18 ΞΥΛΗΙ (C supra), C add. m. pr. ‖ 19 ΔΑΙΠΑΡΩΤΕΡΑΙ (ελι supra), ελι add. m. pr. ‖ 21 ΤΗΝ, corr. m. pr. ‖ 23 de 'alpha syllaba' cf. Apoll. de constr. p. 4, 26, Scholl. Dion. Thrax p. 820, 6. 840, 1, Lucian. Iud. voc. 2 p. 83 | *βώσῃ* Bl Bch ‖ 24 *τριθημέρῃ* Rth Bch ‖ 25. 26 spat. post ΑΥΤΩΙ et ΧΡΗΣΤΟΣ ‖ 26 ΙΠΑ ‖ 27 ΒΟΣΚΙΝ ‖ 28 ΠΑΙΔΙΗΝ ‖ 29 ΕΞΙΝ ‖ 31 ΕΙΠΙΝ

19—21 Ps.-Diog. 532 p. 274 Gott. (ex Heronda, ut videtur): ...*λιπαρώτερος ληκυθίου· ἐπὶ τῶν ὑπερβολικῶ<ς λιπαρῶ>ν* ‖ 20 Hesych. *φῦσα ... ἀσκός*

III ἐνταῦθ' ὅκως νιν ἐκ τετρημένης ἠθεῖ·
„Ἄπολλον — ἀγρεῦ" — τοῦτο φημὶ χἠ μάμμη,
τάλης, ἐρεῖ σοι, κἠστὶ γραμμάτων χήρη
κὠ προστυχὼν Φρύξ —· ἢν δὲ δή τι καὶ μεῖζον
γρύξαι θέλωμεν, ἢ τριταῖος οὐκ οἶδεν
τῆς οἰκίης τὸν οὐδόν, ἀλλὰ τὴν μάμμην,
γρηῦν γυναῖκα κὠρφανὴν βίου, κείρει,
ἢ τοῦ τέγευς ὕπερθε τὰ σκέλεα τείνας
κάθηθ' ὅκως τις καλλίης κάτω κύπτων.
τί μευ δοκεῖς τὰ σπλάγχνα τῆς κακῆς πάσχειν,
col. 16 ἐπεὰν ἴδωμι; κοὐ τόσος λόγος τοῦδε·
ἀλλ' ὁ κέραμος πᾶς ὥσπερ ἴτρια θλῆται,
κἠπὴν ὁ χειμὼν ἐγγὺς ᾖ, τρί' ἡμαιθα
κλαίουσ' ἑκάστου τοῦ πλατύσματος τίνω·
ἓν γὰρ στόμ' ἐστὶ τῆς συνοικίης πάσης,
τοῦ Μητροτίμης ἔργα Κοττάλου ταῦτα,
κἀληθίν', ὥστε μηδ' ὀδόντα κινῆσαι.
ὅρη δ' ὁκοίως τὴν ῥάκιν λελέπρηκε
πᾶσαν, καθ' ὕλην οἷα Δήλιος κυρτεὺς
ἐν τῇ θαλάσσῃ τὠμβλὺ τῆς ζόης τρίβων.
τὰς ἑβδόμας τ' ἄμεινον εἰκάδας τ' οἶδε

33 ⊢ΘΙ [Η] corr. m. pr. ‖ 34 ΑΥ[Γ]ΡЄΥ corr. m. pr. ‖ 35 = τάλας? τὰ λῆς Bch alii, vix recte, cf. VII 88 | ЄΡΙ ‖ 36 ΜΙΖΟΝ ‖ 39 ΚΙΡΙ ‖ 40 ΤΙΝΑϹ ‖ 42 ΠΑϹΧΙΝ ‖ 43 spat. post ΙΔΩΜΙ: ἴδω μιν Rth, sed -μι forma Homerica (cf. ad II 44) atque μιν verbis quae sequuntur refragatur | ΤΌϹΟϹ ‖ 44 ΙΤΙΑ, corr. Rth, ἰτίη Bch Hck alii ‖ 45 ‚ΚΗΠΗΝΟΧΙΜΩΝ | ΗΜЄΘΑ [ΑΙ], corr. m. rec. ‖ 46 ‚ΚΛΑΙΟΥϹΑ, Α del. ‖ 49 ‚ΚΑΛΗΘΙΝ', interstitium ‖ 50 ΔЄΚΟΙΩϹ [Ο], corr. m. pr. ‖ 53 ЄΒΔΟΜΑϹ [ΔΑ], ΔΑ m. rec. | ΑΜΙΝΟΝΙΚΑΔΑϹΤ

34 cf. Aesch. fr. 200 p. 67 N.[2]: ἀγρεὺς δ' Ἀπόλλων

τῶν ἀστροδιφέων, κοὐδ' ὕπνος νιν αἱρεῖται III
νοεῦνθ' ὅτ' ἦμος παιγνίην ἀγινῆτε.
ἀλλ' εἴ τί σοι, Λαμπρίσκε, καὶ βίου πρῆξιν
ἐσθλὴν τελοῖεν αἵδε κἀγαθῶν κύρσαις,
μὴ λάσσον αὐτῷ —

ΛΑΜΠΡΙΣΚΟΣ

Μητροτίμη, ⟨μὴ⟩ ἐπεύχεο,
ἕξει γὰρ οὐδὲν μεῖον. Εὐθίης κοῦ μοι,
κοῦ Κόκκαλος, κοῦ Φίλλος; οὐ ταχέως τοῦτον
ἀρεῖτ' ἐπ' ὤμου, τῇ Ἀκέσεω σεληναίῃ col. 17
δείξοντες; — αἰνέω τἄργα, Κότταλ', ἃ πρήσσεις.
οὔ σοι ἔτ' ἀπαρκεῖ ταῖσι δορκάσιν πέμπειν
ἀστράβδ', ὅκωσπερ οἵδε, πρὸς δὲ τὴν παίστρην
ἐν τοῖσι προὐνίκοισι χαλκίζεις φοιτέων;
ἐγώ σε θήσω κοσμιώτερον κούρης
κινεῦντα μηδὲ κάρφος, εἰ τό γ' ἥδιστον.
κοῦ μοι τὸ δριμὺ σκῦλος, ἡ βοὸς κέρκος,

54 ΑΙΡΙΤΑΙ ‖ 55 ἀγινεῖτε Bch ‖ 57 αἵδε, αἱ Μοῦσαι, cf. v. 97 ‖ 58 μὴ μᾶσσον (magistri) Richards | post ΑΥΤΩΙ interstitium | ΜΗΤΡΟΙΤΙΜΗ ‖ 59 ΕΞΕΙ | ΜΙΟΝ, hinc interstitium | [Κ]ΠΟΥ corr. m. pr. ‖ 61 ΑΡΙΤ | ΑΚΈΣΕΩ ‖ 62 ΔΙΞΟΝΤΕΣ, δίζοντες RHerzog | ΚΟΤΤΑ[Λ']Λ | ΠΡΗΣΣΙΣ ‖ 63 ΠΕ~~ΜΠ~~[ΑΙΖ]ΕΙΝ, servavi πέμπειν, cf. Persius III 50, Poll. IX 7,103 ‖ 64 ΆΣΤΡΆΒΔ, scriba de accentu dubitavit, sed cf. κρύβδα, μίγδα Herodian. p. 495 ‖ 65 ΠΡΟΝΙΚΟΙΣΙ ‖ 67 ΚΑΡΦΟΣΙΤΟ ‖ 68 σκῦτος plerique, cf. ad v. 7

60 Zenob. Ath. I 41: Εἰς τὴν Ἀκεσαίου σελήνην· ἐπὶ τῶν εἰς χρόνον ἀναβαλλομένων τι πράττειν... Ἀκεσαῖος γὰρ κυβερνήτης ἐγένετο τοῦ Νηλέως· ἔλεγε δὲ ἐκεῖνος ἀναμένειν τὴν σελήνην ἀεὶ πλήρη ἵνα ἐν φωτὶ ὁ πλοῦς γένηται. Brevius Phot. II p. 212 Nb. (Suid. Ap.). Ineptit Ps.-Diogenianus (i. e. scriba quidam medii aevi) cum (530 p. 274) Λακωνικὰς σελήνας τὸ ἐναντίον esse dicit ‖ 66 sq. cf. Aristoph. Lysistr. 473 sq.

III ᾧ τοὺς πεδήτας κἀποτάκτους λωβεῦμαι;
δότω τις εἰς τὴν χεῖρα πρὶν χολὴ⟨ν⟩ βῆξαι.

ΚΟΤΤΑΛΟΣ

μή μή ἱκετέω, Λαμπρίσκε, πρός σε τῶν Μουσέων
καὶ τῶν γενείων τῆς τε Κοττίδος ψυχῆς,
μὴ τῷ με δριμεῖ, τῷ 'τέρῳ δὲ λώβησαι.

ΛΑΜΠΡΙΣΚΟΣ

ἀλλ' εἶς πονηρός, Κότταλε, ὥστε καὶ περνὰς
οὐδείς σ' ἐπαινέσειεν, οὐδ' ὅκως χώρης
οἱ μῦς ὁμοίως τὸν σίδηρον τρώγουσιν.

ΚΟΤΤΑΛΟΣ

κόσας, κόσας, Λαμπρίσκε, λίσσομαι, μέλλεις
ἔς μευ φορῆσαι —

ΛΑΜΠΡΙΣΚΟΣ

μὴ 'μέ, τήνδε δ' εἰρώτα.

ΚΟΤΤΑΛΟΣ

col. 18 τατᾶ, κόσας μοι δώσετ';

---

71 ΜΗΜΗΙΚΕΤΕΎΩ~~ΠΡΟϹ~~ΕΠΡΙϹΚΕ (ΛΑΜ supra), Υ forma mira exaratum deletumve, ορ supra ευ (Bch) non dignosco; μή μ' ἱκετεύω Bch. Cf. VII 69 τεκτονῶν ad -έω, -εύω, IX 2 ‖ 72 ΤΩΝΓΕΝΕΙΩΝ (ΟΥ ΟΥ supra), corr. m. rec.? | ΚΟΥΤΙΔΟϹ (Τ supra), κοττίδος Hck Bch ‖ 74 ΙϹ | ΠΈΡΝΑϹ ‖ 75 ΟΥΔΙϹ (ΟΥ supra) | ΟΚΩϹ, ου add. m. rec., cf. ὡς Theocr. I 13. V 101. 103, ὅκου Cr olim, plerique ‖ 77 ΚΟϹΑϹ | ΜΕΛΛΙϹ ‖ 78 μοι plerique | spatium maius post ΦΟΡΗϹΑΙ | ΙΡΩΤΑ ‖ 79 ΤΑΤΑ̂, cf. τατία V 69, τᾶ τᾶ (magistri) Bch

---

75 Senec. apocol. 7 (ex Heronda?): *venisti huc ubi mures ferrum rodunt.* Antig. mirab. 18 p. 65 West.: ἐνταῦθα (in insula Gyaro) οἱ μύες διατρώγουσιν τὸν σίδηρον

ΜΗΤΡΟΤΙΜΗ

εἴ τί σοι ζώην,
φέρειν ὅσας ἂν ἡ κακὴ σθένῃ βύρσα.

ΚΟΤΤΑΛΟΣ

παῦσαι, ἱκαναί, Λαμπρίσκε.

ΛΑΜΠΡΙΣΚΟΣ

καὶ σὺ δὴ παῦσαι
κάκ' ἔργα πρήσσων.

ΚΟΤΤΑΛΟΣ

οὐκέτ', οὐχὶ ⟨μὴ⟩ πρήξω,
ὄμνυμί σοι, Λαμπρίσκε, τὰς φίλας Μούσας.

ΛΑΜΠΡΙΣΚΟΣ

ὅσσην δὲ καὶ τὴν γλᾶσσαν οὗτος ἔσχηκας·
πρός σοι βαλέω τὸν μῦν τάχ', ἢν πλέω γρύξῃς.

ΚΟΤΤΑΛΟΣ

ἰδού, σιωπῶ· μή με, λίσσομαι, κτείνῃς.

ΛΑΜΠΡΙΣΚΟΣ

μέθεσθε, Κόκκαλ', αὐτόν·

ΜΗΤΡΟΤΙΜΗ

οὐδὲ εἷς λῆξαι,
Λαμπρίσκε, δεῖρον δ' ἄχρις ἥλιος δύσῃ.

---

79 Ī ΤΊΣΟΙ (— paragraphus?) | ΖΩΗΝ̇ (voluitne *ζωή*?) ‖ 80 ΦΕΡ^{ΕΙΝ} | ΣΘΕΝΗΙ̸ ΒΥΡΣΑΙ̸ (Ι del.) ‖ 81 interst. ante ΙΚΑΝΑΙ et ΚΑΙ ‖ 82 ΚΑ̅Κ | ΠΡΗΣ^{C}ΩΝΟΥΚΕΤΟΥΧΙΠ^{PH}ΑΙΞΩ, *οὐκέτι πρ.* plerique, ft. *οὐχί πα*, cf. Theocr. I 63. XI 28 ‖ 83 ^{C}ΑΟΙ ‖ 84 Ō̄ΣΣΗΝ, *ὅσην* Bch | ΕΣΧΗΚ^{ΑΣ}Ε ‖ 85 *μῦς = φιμός, κημός* (a *μύειν*); simile *βοῦς ἐπὶ γλώσσῃ* ‖ 86 Ι̅Δ̅Ο̅Υ̅ ‖ 87 Μ̄ΕΘΕΣΘΕ | post ΑΥΤΟΝ spat. maius | ΟΥΔΕΚΛΗΞΑΙ, potentialem (om. *ἄν*) pro imperativo esse statui, *οὔ σε δεῖ λῆξαι* Bch, alii aliud ‖ 88 Λ̄ΑΜΠΡΙΣΚΕ | ΔΕΙΡΟΝ^{Δ}ΑΧΡΙΣ | *ἥλιον*? cf. Callim. ep. II 3, al. | *δύῃ* Rth Bch

III

ΛΑΜΠΡΙΣΚΟΣ

ἀλλ' ἐστὶν ὕδρης ποικιλώτερος πολλῷ —

ΜΗΤΡΟΤΙΜΗ

καὶ δεῖ λαβεῖν νιν κἀπὶ βυβλίῳ δήκου,
τὸ μηδέν, ἄλλας εἴκοσίν γε, καὶ ἢν μέλλῃ
αὐτῆς ἄμεινον τῆς Κλεοῦς ἀναγνῶναι.

ΚΟΤΤΑΛΟΣ

ἰσσᾷ —

ΜΗΤΡΟΤΙΜΗ

λάθοις τὴν γλᾶσσαν ἐς — μέλι πλύνας.
ἐρέω ἐπιμηθέως τῷ γέροντι, Λαμπρίσκε,
ἐλθοῦσ' ἐς οἶκον ταῦτα, καὶ πέδας ἥξω
φέρουσ', ὅκως νιν σύμποδ' ὧδε πηδεῦντα
col. 19 *αἱ πότνιαι βλέπωσιν, ἃς ἐμίσησεν.*

---

89 Λ̄ΛΛ ‖ 90 ΔΙ | ΛΑΒΙΝ ‖ 91 ΜΗΔΕΝ (θ supra Δ), θ add. m. rec.? | ΙΚΟϹΙΝ ‖ 92 ΑΜΙΝΟΝ | ΚΛΕΟ͡ΥϹ ‖ 93 post ΙϹϹΑ͡Ι spatium maius; Cottalo tribuit Cr, Metrotimae plerique | ΙΛΑϹϹΑΝ | fuit cum scribebam *μέλαν* ‖ 97 (ϹΑΙΠΟΤΝΙΑΙ, versus initium fere evanuit, verum viderunt Danielson Kn

---

89 Ps.-Diog. 372. 669: *ποικιλώτερος ὕδρας· ἐπὶ τῶν... θαυμαζομένων*

IV.

ΑΣΚΛΗΠΙΩΙ ΑΝΑΤΙΘΕΙΣΑΙ ΚΑΙ ΘΥΣΙΑΖΟΥΣΑΙ.

ΚΟΚΚΑΛΗ

Χαίροις ἄναξ Παίηον, ὃς μέδεις Τρίκκης
καὶ Κῶν γλυκῆαν κἠπίδαυρον ᾤκηκας,
σὺν καὶ Κορωνὶς ἥ σ' ἔτικτε κἀπόλλων
χαίροιεν, ἧς τε χειρὶ δεξιῇ ψαύεις
Ὑγίεια, κὤνπερ οἵδε τίμιοι βωμοί,
Πανάκη τε κἠπιώ τε κἰησὼ χαίροι
χοἰ Λεωμέδοντος οἰκίην τε καὶ τείχη
πέρσαντες ἰητῆρες ἀγρίων νούσων
Ποδαλείριός τε καὶ Μαχάων χαιρόντων,
χὤσοι θεοὶ σὴν ἑστίην κατοικεῦσιν
καὶ θεαί, πάτερ Παίηον· ἵλεῳ δεῦτε,
τοὶ ἀλέκτορος τοῦδ' ὅντιν' οἰκίης τοίχων
κήρυκα θύω, τἀπίδορπα δέξαισθε.
οὐ γάρ τι πολλὴν οὐδ' ἕτοιμον ἀντλεῦμεν,

---

vv. 1—18 Coccalae recte tribuit Zl, Cynnoni Kb

1 litterae quaedam evanidae | ΜΕΔΙC || 2 *γλυκεῖαν* plerique || 3 ΧΟΠΟΛΛΩΝ, Χ in Κ corr. m. pr., voluit quod scripsi || 4 ΧΕΙΡ | ΨΑΥΙC (Ι ex Є?) || 5 ΥΓΙΙΑΤΕΚ'ΩΝΠΕΡ: Hygieia parhedrus Aesculapii, itaque ΤΕ delendum, cf. v. 6 || 7 ΤΙΧΗ || 9 ΠΟΔΑΛΙΡΙΟC || 11 _ΚΑΙ, lineola corruptelae indicium |
Λ ω
ΙΔΕΩΙ corr. m. pr. || 12 ΤΟΥΑΛΕΚΤΟΡΟC, ω add. m. rec. | olim conieci *ὅντιν' ὄρθριον τοίχων κτλ.* (*οἰκίης* glossema ad *τοίχωι* referendum?)

IV *ἐπεὶ τάχ' ἂν βοῦν ἢ νενημένην χοῖρον*
πολλῆς φορίνης κοὐκ ἀλέκτορ' ἴητρα
col. 20 *νούσων ἐποιεύμεσθα, τὰς ἀπέψησας*
ἐπ' ἠπίας σὺ χεῖρας, ὦ ἄναξ, τείνας.

ΚΥΝΝΩ

ἐκ δεξιῆς τὸν πίνακα, Κοκκάλη, στῆσον
τῆς Ὑγιείης.

ΚΟΚΚΑΛΗ

μᾶ, καλῶν, φίλη Κυννοῖ,
ἀγαλμάτων· τίς ἦ ῥα τὴν λίθον ταύτην
τέκτων ἐποίει καὶ τίς ἐστιν ὁ στήσας;

ΚΥΝΝΩ

οἱ Πρηξιτέλεω παῖδες· οὐχ ὁρῇς κεῖνα
ἐν τῇ βάσει τὰ γράμματ'; Εὐθίης δ' αὐτὰ
ἔστησεν ὁ Πρήξωνος —

ΚΟΚΚΑΛΗ

ἵλεως εἴη
καὶ τοῖσδ' ὁ Παιὼν καὶ Εὐθίῃ καλῶν ἔργων.
ὅρη, φίλη, τὴν παῖδα τὴν ἄνω κείνην
βλέπουσαν ἐς τὸ μῆλον; οὐκ ἐρεῖς αὐτήν,
ἢν μὴ λάβῃ τὸ μῆλον, ἐκ τάχα ψύξει⟨ν⟩;
κεῖνον δέ, Κυννοῖ, τὸν γέροντα; πρὸς Μοιρέων,

---

15 ЄΠΙ | *νενημένην = νενασμένην*, cf. Aristoph. Nub. 1203 || 16 ΑΛЄΚΤΟΡ'ΊΗΤΡΙΑ, de *ἴητρον* forma cf. Hesych., Baurack, Inschr. aus Epidauros (Stud. I) 59,45 p. 124 *ἀποθύσειν τὰ ἴετρα*, 60,20 *ἀποδιδόναι τὰ ἴ.*, sim. 80,7.35 || 18 ΧЄΊΡΑϹ | ΤΙΝΑϹ || 19 ЄΚ? distr. Zl. Cf. 88 | *πίναξ* tabella votiva, cf. mimi tit. || 20 ΥΓΙΗϹ ΜΑ (Ὑ-?), alterum *μᾶ* add. Rth, alii aliud. cf. III 7 adn. || 21 *ἦ ῥα* epicum | spatium ante ΤΙϹ | ΤΟΝ (Η supra Ο), corr. m. pr. || 22 ЄΓΟЄΙ || 23 ΚΙΝΑ || 24 ΒΑϹΙ | *αὐτά*, cf. 21 *ἀγαλμάτων* || 25 ΙΗ || vv. 25—38 vario modo distribuas (cf. Rth Kb), Cynnoni dedit Zl || 26 ЄΥΘΙΗϹ || 27 ΚЄΙΜЄΝΗΝ || 28 ЄΡΙϹ || 29 ΨΥΞΙ, cf. 33 || 30 ΓЄΡΟΝΤΑ

τὴν χηναλώπεκα ὡς τὸ παιδίον πνίγει· IV
πρὸ τῶν ποδῶν γοῦν εἴ τι μὴ λίθος τοὔργον,
ἐρεῖς λαλήσει⟨ν⟩. μᾶ, χρόνῳ κοτ' ὤνθρωποι
κὴς τοὺς λίθους ἕξουσι τὴν ζόην θεῖναι.
τὸν Βατάλης γὰρ τοῦτον οὐχ ὁρῇς, Κυννοῖ, col. 21
ὅκως βέβ[ηκεν] ἀνδριάντα τῆς Μύττεω;
εἰ μή τις αὐτὴν εἶδε Βατάλην, βλέψας
ἐς τοῦτο τὸ εἰκόνισμα μὴ ἐ[τύμ]ης δείσθω.

ΚΥΝΝΩ

ἕπευ, φίλη, μοι καὶ καλόν τί σοι δείξω
πρῆγμ' οἷον οὐχ ὤρηκας ἐξ ὅτου ζώεις.
Κύδιλλ', ἰοῦσα τὸν νεωκόρον βῶσον.
οὐ σοὶ λέγω αὔτη τῇ ὧ[δε] χὦδε χασκεύσῃ;
μᾶ, μή τιν' ὤρην ὧν λέγω πεποίηται,
ἕστηκε δ' εἴς μ' ὀρεῦσα καρκίνου μέζον.
ἰοῦσα, φημί, τὸν νεωκόρον βῶσον.
λαίμαστρον, οὔτ' ὀργή σ[ε] κρηγύην οὔτε
βέβηλος αἰνεῖ· πανταχῇ λί[θος] κεῖσαι·
μαρτύρομαι Κύδιλλα τὸν θ[εὸν] τοῦτον,

---

32 ,ΠΡΟ, corrector de constructione dubitavit | ΙΤΙ ‖ 33 ΕΡΙΣΛΑΛΗΣΙ, deinde interstitium, cf. 29 | $\overset{\text{Χ}}{\text{Κ}}$ΡΟΝΩΙ, corr. m. pr. ‖ 34 ΚΗΣ c. paragr.? | ΘΙΝΑΙ | lineola illa si vv. 33 et 34 sermonem dividendum esse indicatur, non optemperandum ‖ Columnae 21 fere mediae litterae nonnullae detritae ‖ 36 Ο$\overset{\text{Κ}}{\text{Π}}$ΩΣ, corr. m.pr. | ΒΕΒ----, suppl. Bl W, tentaveram *βαβάζοντ'* vel *βαβάκτην, βεβάκχευται* Kb ‖ 37 ΙΔΕ | litterae quaedam evanidae | ΒΑΤΑΛΗΝ·,·ad *εἶδε* relatum ‖ 38 ΙΚΟΝ$\overset{\text{Ε}}{\text{Ι}}$ΣΜΑ ΜΗΣ---$\overset{\text{Σ}}{\text{Η}}$ΔΙΣΘΩ, suppl. Cr alii, *φωνῆς* Rth ‖ 39 ΕΠΕΥ | ΔΙΞΩ ‖ 40 ΖΩΙΣ ‖ 41 ΚΥΔΙΛΛ' ‖ 42 spatium ante ΑΎΤΗ | ΤΗΙΩ.ΔΣ suppl. Rth ‖ 43 ΤῚΝ, nescio quid deletum | ΛΕΓΩ ‖ 44 ΚΑΡΚ-ΝΟΥ ‖ 46 ΛΆΙΜΑΣΤΡΟΝ | ΟΡΓΗΣΣ Κ-ΗΓΥΗΝ ‖ 47 ΑΙΝΙ͂ | ΛΙ---ΚΙΣΑΙ, ut videtur, suppl. Cr, *δ' ἴσ' ἔγκεισαι* Kn Bch, *δ' [ἀργὴ]* W

IV ὡς ἔκ με κάεις οὐ θέλουσαν οἰδῆσαι,
μαρτύρομαι, φημί· ἔσσετ' ἡμέρη κείνη,
ἐν ᾗ τὸ βρέγμα τοῦτο τωὔσυρον κνήσῃ.

ΚΟΚΚΑΛΗ

μὴ πάνθ' ἕτοιμ', ὡς καρδίη βάλοι, Κυννοῖ;
col. 22 δούλη 'στί, δούλης δ' ὦτα νωθρίη θλίβει.

ΚΥΝΝΩ

ἅμ' ἡμέρη τε, κἠπὶ μέζον ὠθεῖται.

ΚΟΚΚΑΛΗ

αὕτη σὺ μεῖνον· ἡ θύρη γὰρ ὤικται
κἀνεῖθ' ὁ παστός· οὐχ ὁρῇς, φίλη Κυννοῖ,
οἷ' ἔργα; καινὴν ταῦτ' ἐρεῖς Ἀθηναίην
γλύψαι τὰ καλά — χαιρέτω δὲ δέσποινα.
τὸν παῖδα δὴ ⟨τὸν⟩ γυμνὸν ἢν κνίγω τοῦτον
οὐχ ἕλκος ἕξει, Κύννω; πρὸς γάρ οἱ κεῖνται
αἱ σάρκες, οἷα θερμά, θερμὰ πηδῶσαι

---

49 ΚΑιC, corr. Jackson Bch, καίπερ plerique ‖ 50 ˏΜΑΡ ΤΥΡΟΜΑΙ, lineola obliqua ζητήσεως indicium | ΦΙΜΙ ЄCCЄΤ· ΗΜЄΡΗΙΚЄΙΝΗΙ ‖ 51 ЄΝΗΙ, Ι del., delendum erat ΚЄΙΝΗΙ vocis Ι ultimum, sed librarius (m. pr.?) huc aberravit; verum viderant Hw Zl alii. de φημί in enuntiati fine posito cf. V 20 | ΤΩΥCΥ ΡΟCΙ, C litteram in Ν corr. m. pr.; τωὔσυρον = τὸ αὔσυρον, αὔσιον (cf. τηύσιον), τὤσυρὸς Bl, τῶν ξυρός Bch, τῷζυρὸν van Leeuwen; caput scalpere animi perturbati ‖ 52 ΜΗ | ΒΑΛΛ:ι, corr. m. pr., καρδίῃ βάλῃ Bl ‖ 53 ΘΛΙΒЄΙ, ut videtur ‖ 54 ΑΛΛ potius quam ΑΜ | ΩΘΙΤΑΙ | loquitur de ancilla, cf. δρμᾷ ἐπὶ μέζον III 8 ‖ 55 spatia post CY et ΜΙΝΟΝ ‖ 56 ΚΑΝЄΙΘ ‖ 57 spat. post ЄΡΓΑ | ΚΟΙΝΗΝ corr. El, Α (?) cognovit Bch | ЄΡΙC ‖ 58 spatium post ΚΑΛΑ ‖ 59 ΚΝΙΓΩ etiam nunc Kn, ΚΝΙCΩ Dl Bch; angulo tam recto C exaratum vix invenies; ἔκνιγον: κνίζω = ἔκλαγον: κλάζω (Inscr. Coae 218, 2) ‖ 60 ЄΞΙΚΎΝΝΑ, deinde interstitium; cf. 71 | ΚΙΝΤΑΙ ‖ 61 ΘЄΡΜΑΠΗΔΩCΑΙ (ΘΕΡΜΑ superscr.) 'ut fontes calidi'; alterum θερμα fortasse add. man. rec. e coniectura

ἐν τῇ σανίσκῃ, τὠργυρεῦν δὲ πύραστρον IV
οὐκ ἦν ἴδῃ Μύελλος ἢ Παταικίσκος
ὁ Λαμπρίωνος, ἐκβαλεῦσι τὰς κούρας
δοκεῦντες ὄντως ἀργυρεῦν πεποιῆσθαι;
ὁ βοῦς δὲ χὸ ἄγων αὐτόν, ἥ θ' ὁμαρτεῦσα
χὠ γρυπὸς οὗτος κὼ [ἀν]άσιμος ἄνθρωπος,
οὐχὶ ζόην βλέπουσιν ἡμέρην πάντες;
εἰ μὴ ἐδόκουν τι μέζον ἢ γυνὴ πρήσσειν,
ἀνηλάλαξ' ἄν, μή μ' ὁ βοῦς τι πημήνῃ,
οὕτω ἐπιλοξοῖ, Κυννί, τῇ ἑτέρῃ κούρῃ. col. 23

ΚΥΝΝΩ

ἀληθιναί, φίλη, γὰρ αἱ Ἐφεσίου χεῖρες
ἐς πάντ' Ἀπέλλεω γράμματ', οὐδ' ἐρεῖς "κεῖνος
ὤνθρωπος ἓν μὲν εἶδεν, ἓν δ' ἀπηρνήθη".
ἀλλ' ᾧ ἐπὶ νοῦν γένοιτο, καὶ θεῶν ψαύειν
ἠπείγεθ'· ὃς δ' ἐκεῖνον ἢ ἔργα τὰ ἐκείνου
μὴ παμφαλήσας ἐκ δίκης ὀρώρηκεν,
ποδὸς κρέμαιτ' ἐκεῖνος ἐν γναφέως οἴκῳ.

ΝΕΩΚΟΡΟΣ

κάλ' ὑμίν, ὦ γυναῖκες, ἐντελέως τὰ ἱρὰ
καὶ ἐς λῷον ἐμβλέποντα· μεζόνως οὔτις

---

62 ΓΥΡΑCΤΟΝ (ρ supra). *πυραγρον* Kn legerat (atque ita Rth Bch alii), qui nunc quod Meister proposuit agnoscit, cf. *λαίμαστρον* sim. ‖ 63 ΙΔΗΜΥΛΟC (ΕΛ supra), corr. m. pr. ‖ 66 *χὠ*? ‖ 67 ⁄ΧΩ, de lineola cf. ad v. 50 | ΟΥΤΟC ΟΥΚ ΚΩ⁄ ΙΑCΙΜΟC (ΛΛ supra), *-σιλλος* plerique, *-σιμος* Dl Zl El ‖ 68 ΖΌΗΝ | *βλέπουσι νημερτῆ* Hw: *ἡμέρην* ab *ἥμερος* ‖ 69 ΠΡΗCCΙΝ ‖ 70 ΑΝΗΛΑΛΑΞΑΝ | ΠΗΜΗ'ΝΗΙ, lineolis fort. tempora notantur ‖ 71 ΟΥΤΩC ‖ 72 ΧΙ(Ι ex Ε)ΡΕC ‖ 73 ΕΡΙCΚΙΝΟC ‖ 74 ΙΔΕΝ, *οἶδεν*? ‖ 75 ΨΑΥΙΝ ‖ 76 ⁄ΗΠΙΓΕΘ, lineola ΤΑ omissum indicatur | ΕΚΙΝΟΝΗΕΡΓΑΕΚΕΙΝΟΥ (ΤΑ supra), ΤΑ m. r. ‖ 79 ΚΑΛ (superlineatum) | ΕΝΤΕΛΕΩCΙ (Ι del.) ΤΑΙΡΑ ‖ 80 ΜΕΖΟΝΩ^{σ}, *σ* m. rec.

IV *ἠρέσατο τὸν Παιήον', ἧπερ οὖν ὑμεῖς.*
ἰὴ ἰὴ Παίηον, εὐμενὴς εἴης
καλοῖς ἐπ' ἱροῖς τοῖσδε κεἴ τινες τῶνδε
ἔασ' ὀπυιηταί τε καὶ γενῆς ἆσσον.
ἰὴ ἰὴ Παίηον· ὧδε ταῦτ' εἴη.

ΚΟΚΚΑΛΗ

εἴη γάρ, ὦ μέγιστε, χὐγιίη πολλῇ
ἔλθοιμεν αὖτις μέζον' ἴρ' ἀγινεῦσαι
σὺν ἀνδράσιν καὶ παισί.

ΚΥΝΝΩ

Κοκκάλη καλῶς,
τεμεῦσα μέμνεο τὸ σκελύδριον δοῦναι
col. 24 *τῷ νεωκόρῳ τοὔρνιθος, ἔς τε τὴν τρώγλην*
τὸν πελανὸν ἔνθες τοῦ δράκοντος εὐφήμως,
καὶ ψαιστὰ δεῦσον· τἄλλα δ' οἰκίης ἕδρῃ
δαισόμεθα· καὶ ἐπὶ μὴ λάθῃ φέρειν, αὐτὴ
τῆς ὑγιίης νῷ πρόσδος· ἡ γὰρ ἱροῖσιν
μέ[λ]ων ἄμ'. ἀρτίης ἡ ὑγίη 'στὶ τῆς μοίρης.

---

81 ΥΜΈΙϹ ‖ 82 ΙΗϹ ‖ 83 ⨯ΚΑΛΟΙϹ (lineola deleta) ЄΜ (Μ del.)Π'ΡΟΙϹ | ΚΙΤΙΝЄϹ ‖ 85 ΤΑΥΤΙΗ | cf. Soph. OR. 1096 ‖ 86 ΙΗΓΑΡ Coccalae tribui | *χὐγίῃ* Rth Bch, fortasse recte; invenitur ΥΓΙΗ v. 95 et in inscr. Cois 345,16 ‖ 88 ΚΟΤΤΑΛΗ cf. 19 ‖ 89 Τ̄ЄΜЄΥϹΑ, lineola aut altera persona appellata indicatur, ut II 79, aut quae antecedunt Coccalae tribuenda ‖ 90 ΝЄΟΚΟΡΩΙ, de re cf. Inscr. Coae 36 sq. | spatium ante ЄϹ ‖ 91 ΠЄ̀ΛΑΝΟΝ, ut acuatur ultima ‖ 93 interstitium post ΔΑΙϹΟΜЄΘΑ | ΜΗΛΑΘΗ (sine Ι) ΦЄΡΙΝ: non fuit ΜΗΛΑΘΙϹ, *μῆλα θεὶς*, cf. *μέμνεο* 89 ‖ 94 *ὑγι(ί)η* 'panis sacratus', cf. Phot. s. v., Athen. III 115 A | Δ̂ΩΙ, ∧ add. m. pr., corr. Cr; *νῷ* (pro *νῷν*) admittere non dubitavi, cf. Lucian. soloec. 6; *λῷι πρόσδος· ἡ γὰρ κτλ.* Bch | *πρόσδος* 'adde', scil. *ὑγιίης*; Coccalen appellat ‖ 95 ΜЄ \ΩΝΑΜΑΡΤΙΗϹ, suppl. Cr., *μέζων* plerique | *μέζων ἁμαρτεῦσ' ἡ ὑγίη 'στὶ τῆς μοίρης* Bch, sed *ι* coalescentem (II 8. 84) admisisse videtur poeta, *ἆμ' ἀρτίης* Kn, *ἆμ'. ἀρτίης* Cr conl. v. 54

V.

ΖΗΛΟΤΥΠΟΣ.

ΒΙΤΙΝΝΑ

Λέγε μοι σύ, Γάστρων, ἧδ' ὑπερκορὴς οὕτω,
ὥστ' οὐκέτ' ἀρκεῖ τἀμά σοι σκέλεα κινεῖν,
ἀλλ' Ἀμφυταίῃ τῇ Μένωνος ἔγκεισαι;

ΓΑΣΤΡΩΝ

ἐγὼ Ἀμφυταίην τὴν Μένωνος ὥρηκα
γυναῖκα; προφάσεις πᾶσαν ἡμέραν ἕλκεις,
Βίτιννα· δοῦλός εἰμι, χρῶ ὅτι βούλει ⟨μοι⟩
καὶ μὴ τό μευ αἷμα νύκτα κἠμέρην [πῖ]νε.

ΒΙΤΙΝΝΑ

ὅσην δὲ καὶ τὴν γλᾶσσαν, οὗτος, ἔσχηκας.
Κύδιλλα, ποῦ μοι Πυρρίης; κάλει μαὐτόν.

---

1 ΗΔ, ἧδ' (scil. *κέρκος*) Mk, ἧδ' = ἤδη vix ferri potest; εἶς Rth, εἶ δ' Bch; ἧρ' Hw ‖ 2 ΑΡΚΙ | ΚΙΝΙΝ ‖ 3 ЄΓΚΙϹΑΙ ‖ 4
Λ ΓΕΙϹ
ЄΓΩ | ΤΗΝΜЄΝΩΝΟΡ(fort. corr. ex Ϲ)ΩΡΗΚΑ, corr. Kenyone iudice m. r.; *τὴν λέγεις δρώρηκα κτλ.* plerique; ft. *ἐγὼ Ἀμφυταίῃ τῇ Μένωνος;* ‖ 5 ΠΡΟΦΑϹΙϹ, ne legatur *πρόφασις* | ЄΛΚΙϹ ‖ 6 ΒΊΤΙΝΝΑ, deinde spatium | ΙΜΙ | suppl. Bl, cf. Aristoph. Thesm. 212, ⟨*καὶ*⟩ *βούλει* El ‖ 8 ΟϹΗΝ, cf. III 84 ubi legitur ΟϹϹΗΝ
Κ ϹΤ
κτλ. ‖ 9 ΠΟΥΜΟΙ, corr. m. rec., cf. v. 4; *κοῦ 'στὶ* plerique, cf. III 59 al. | ΚΑΛΙ | debebat *μωὐτόν*

V

ΠΥΡΡΙΗΣ

τί ἐστι;

ΒΙΤΙΝΝΑ

τοῦτον δῆσον — ἀλλ' ἔθ' ἕστηκας; —
τὴν ἱμανήθρην τοῦ κάδου ταχέως λύσας.
col. 25 *ἢν μὴ καταικίσασα τῇ σ' ὅλῃ χώρῃ*
παράδειγμα θῶ, μᾶ, μή με θῆς γυναῖκ' εἶναι.
ἦ ῥ' οὐχὶ μᾶλλον Φρύξ; ἐγὼ αἰτίη τούτων
ἐγῷμι, Γάστρων, ἥ σε θεῖσα ἐν ἀνθρώποις·
ἀλλ' εἰ τότ' ἐξήμαρτον, οὐ τὰ νῦν εὖσαν
μώραν Βίτινναν, ὡς δοκεῖς, ἔθ' εὑρήσεις.
φέρεις σύ; δῆσον τὴν ἀπληγίδ' ἐκδύσας.

ΓΑΣΤΡΩΝ

μὴ μή, Βίτιννα, τῶν σε γουνάτων δεῦμαι.

ΒΙΤΙΝΝΑ

ἔκδυθι, φημί. δεῖ σ' ὁτεύνεκ' εἶ δοῦλος
καὶ τρεῖς ὑπέρ σευ μνᾶς ἔθηκα γινῴσκειν.
ὡς μὴ καλῶς γένοιτο τἡμέρῃ κείνῃ,
ἥτις σ' ἐσήγαγ' ὧδε. Πυρρίη, κλαύσει,
ὁρῶ σε δήκου πάντα μᾶλλον ἢ δεῦντα.
σύγσφιγγε τοὺς ἀγκῶνας, ἔκπρισον δήσας.

---

10 ΤΙЄСΤΙ deinde spatium ‖ 11 ΤΟΥΤΟΥ, alterum del. m. pr. | *λῦσον* Rth, alii ‖ 12 ΤΗΙϹ (non ΤΗΙΓ) ‖ 13 ΠΑΡΑ ΔΙΓΜΑ | ΙΝΑΙ ‖ 14 ЄΗΡ, Є in Η corr. m. pr. | *μᾶλλον ὁ Φρύξ* proverbium ‖ 15 ЄΓΩΙΜΙ ‖ 16 ΑΛΛΙ ‖ 17 ΜΩΡΑΝ, *μῶραν* Rth, Bch 'morionem' | ΔΟΚΙϹ | ЄΥΡΗϹΙϹ ‖ 18 ΦЄΡΙϹϹΥ, deinde spat. maius: 'fersne loramentum?'. *φέρ' εἷς σύ* El Bch, qui duos adhiberi tortores conicit; *φέρων* Rth | ΔΥϹΟΝ (Η supra), corr. m. pr. | 19 ΜΗ | ΔΟΥΜΑΙ, sed Ο lineola addita in Є correxisse videtur m. pr. ‖ 20 ЄΚΔΥΘΙ | interstitium post ΦΗΜΙ | ΔΙϹΟΤЄΥΝЄΚΙ (Ι ex Є?), spiritus sive Є additum ‖ 21 ΤΡΙϹ | ΜΝΑϹ | ΓΙΝΩΙϹΚΙΝ ‖ 22 ΚΙΝΗΙ ‖ 23 ΚΛΑΥϹΙ ‖ 25 *σύσσφιγγε*? Bch | spatium post ΑΓΚΩΝΑϹ

ΓΑΣΤΡΩΝ V

Βίτιννα, ἄφες μοι τὴν ἁμαρτίην ταύτην.
ἄνθρωπός εἰμι, ἥμαρτον· ἀλλ' ἐπὴν αὖτις
ἕλῃς τι δρῶντα τῶν σὺ μὴ θέλῃς, στίξον.

ΒΙΤΙΝΝΑ

πρὸς Ἀμφυταίην ταῦτα, μὴ 'μὲ πληκτίζευ,
μεθ' ἧς ἀλινδεῖ καὶ ἔμ' ἔχει[ς ποδ]όψηστρον. col. 26

ΠΥΡΡΙΗΣ

δέδεταί καλῶς σοι.

ΒΙΤΙΝΝΑ

μὴ λάθῃ λυθεὶς σκ[έ]ψαι.
ἄγ' αὐτὸν εἰς τὸ ζήτρειον πρὸς Ἕρμωνα
καὶ χιλίας μὲν ἐς τὸ νῶτον ἐγκόψαι
αὐτῷ κέλευσον, χιλίας δὲ τῇ γαστρί.

ΓΑΣΤΡΩΝ

ἀποκτενεῖς, Βίτιννα, μ' οὐδ' ἐλέγξασα,
εἴτ' ἔστ' ἀληθέα πρῶτον εἴτε καὶ ψευδέα;

---

26 ΒΙΤΙΝΝΑ | ΑΜΑΡΤΙΑΝ (Η supra), corr. m. pr., cf. 38 ‖ 27 ΙΜΙ | *ἐπὴν μ'* Rth ‖ 29 ΠΡΟϹ, Bitinnae | Strabo XI p. 512: *βακχεία τις ... πινόντων ἅμα καὶ πληκτιζομένων πρὸς ἀλλήλους,* Dio Cass. XLVI 18: *πρὸς γυναῖκα ... πληκτιζόμενος* ‖ 30 legere mihi videor ΑΛΙΝΔΙΚΑΙΕΜΕΧ--ΠΟΔΟΨΗϹΤΡΟΝ, *ποδόψηστρον* coniecerant Hw Cr; *ἀπόψηστρον* alii ‖ 31 spatium post ϹΟΙ | ΜΕΘ (Η supra), corr. m. pr. | ΛΑΘΗ | ΛΥΘΙϹ ‖ 33 ΤΟΝΝΩΤΟΝ ‖ 35 ΑΠΟΚΤΕΝΕΙϹ ‖ 36 ΙΤ

---

32 Choerob. Etym. Magn. s. *ζήτρειον: σημαίνει τὸ τῶν δούλων δεσμωτήριον ἤγουν τὸν μύλωνα παρὰ Χίοις καὶ Ἀχαίοις. εὕρηται δὲ καὶ διὰ τοῦ ι συνεσταλμένου· καὶ παρὰ Ἡροδότῳ* (Hemsterh. *Ἡρώδῃ*, scr. *Ἡρώνδα*). *ἄγε αὐτὸν εἰς τὸ ζήτρειον.* Cf. Poll. Herodian I p. 372, 7

V

BITINNA

ἃ δ' αὐτὸς εἶπας ἄρτι τῇ ἰδίᾳ γλάσσῃ
'Βίτινν', ἄφες μοι τὴν ἁμαρτίην ταύτην';

ΓΑΣΤΡΩΝ

τήν σευ χολὴν γὰρ ἤθελον κατασβῶσαι.

BITINNA

ἕστηκας ἐμβλέπων σύ, κοὐκ ἄγεις αὐτόν,
ὅκου λέγω σοι; ὁδή, Κύδιλλα, τὸ ῥύγχος
τοῦ παντοέρκτεω τοῦδε, καὶ σύ μοι, Δρήχων,
ἤδη 'φαμάρτει, σοὶ ἐὰν οὗτος ἡγῆται.
δώσεις τι, δούλη; τῷ κατηρήτῳ τούτῳ
ῥάκος καλύψαι τὴν ἀνώνυμον κέρκον,
ὡς μὴ δι' ἀγορῆς γυμνὸς ὢν θεωρῆται;
τὸ δεύτερόν σοι, Πυρρίη, πάλιν φωνέω,
ὅκως ἐρεῖς Ἕρμωνι χιλίας ὧδε,
col. 27 καὶ χιλίας ὧδ' ἐμβαλεῖν· ἀκήκουκας;
ὡς ἤν τι τούτων ὧν λέγω παραστίξῃς,
αὐτὸς σὺ καὶ τἀρχαῖα καὶ τόκους τίσεις.
βάδιζε καὶ μὴ παρὰ τὰ Μικκάλης αὐτὸν
ἄγ', ἀλλὰ τὴν ἰθεῖαν. οὗ δ' ἐπεμνήσθην —

---

37 ΑΔΑΥΤΟCΙΠΑC (ε superscr.) ‖ 39 ΤΗΝ ‖ 40 ЄCTΗΚΑC | ΑΓΙC ‖ 41 spat. post COI | ΟΔΗ͡, ne legeretur δ δή; cf. τῆς ῥινὸς ἕλκειν ‖ 42 ΤΟΥΤΟ (ΔЄ superscr.), corr. m. pr. ‖ 43 ΦΑΜΑΡΤΙCΟΙ (non fuit CΦΙ, quod textui inseruit Bch); nihil superscriptum, sed sicut in versu antecedente interstitium (alius columnae litteris ΙΩ ut videtur) commaculatum | ὅκοι σοι ἂν Rth contra metrum, 'φαμαρτεῖς οἵ σ' ἂν Bl fortasse recte ‖ 44 ΔΩCΙC ‖ 48 ЄΡΙC ‖ 49 ЄΜΒΑΛΙΝ ΑΚΗΚΟΥΚΆC, lineola (accentu?) interrogationem indicari putat Dl · ‖ 50 παραστείξῃς Rth, sed metaphora a rationum codice sumpta, cf. *expungere* ‖ 51 ΤΙCΙC ‖ 53 spatium post ΑΓ | ΙΘΙΑΝ | οὗ δ' Kb ad VI 42, οὐδ' Rth

κάλει κάλει δραμεῦσα, πρὶν μακρήν, δούλη, V
αὐτο⟨ὺ⟩ς γενέσθαι.

ΚΥΔΙΛΛΑ

Πυρρίης, τάλας, κωφέ,
καλεῖ σε. μᾶ, δόξει τις οὐχὶ σύνδουλον
αὐτὸν σπαράττειν, ἀλλὰ σημάτων φῶρα·
ὁρῇς, ὅκως νῦν τοῦτον ἐκ βίης ἕλκεις
ἐς τὰς ἀνάγκας, Πυρρίη, ⟨σ⟩έ, μᾶ, τούτοις
τοῖς δύο Κύδιλλ' ἐπόψεθ' ἡμερέων πέντε
παρ' Ἀντιδώρῳ τὰς Ἀχαϊκὰς κείνας,
ἃς πρῶν ἔθηκας, τοῖς σφύροισι τρίβοντα.

ΒΙΤΙΝΝΑ

οὗτος σύ, τοῦτον αὖτις ὧδ' ἔχων ἧκε
δεδεμένον οὕτως, ὥσπερ ἐξάγεις αὐτόν,
Κόσιν τέ μοι κέλευσον ἐλθεῖν τὸν στίκτην
ἔχοντα ῥαφίδας καὶ μέλαν. μιῇ δεῖ σε
ὁδῷ γενέσθαι ποικίλον. κατηρτήσθω col. 28
οὕ[τ]ω κατὰ μυὸς ὥσπερ ἡ Δάου τιμή.

---

54 ΚΑΛΙ bis || 55 ΑΥΤΟC, corr. van Leeuwen Bch, αὐτὸν Rth | spatium ante ΠΥΡΡΙΗC | Πυρρίης — 62 τρίβοντα Cydillae tribuerunt v. Leeuw. Bch, Π. — 56 σε Cydillae, 56 μᾶ — 68 τιμή Bitinnae Rth. versus 57 nota versui 56 praefigenda erat || 56 ΚΑΛΙ, Cydilla | spat. ante ΜΑ | ΔΟΞΙ | $\overset{CYN}{\text{ΔΟΥΛΟΝ}}$, corr. m. pr. || 57 ΑΥΤΟΝCΠΑΡΑΤΤΙΝ || 58 ЄΛΚΙC || 59 ˏЄC, vitium indicatum | ΠΥΡΡΙΗ ЄΜΑ, post Η spat.; suppl. Bl || 60 ΤΟΥC, corr. Bl W, μᾶ τούτους τοὺς δύο Bch contra analogiam || 61 ΚΙΝΑC || 62 πρῷν Bch, sed πρῶν = πρώην || 63 ΟΥΤΟC | $\overset{T}{\text{ΑΥΘΙC}}$, corr. m. pr. || 64 ЄΞΑΓΙC || 65 ЄΑΘΙΝ || 66 ΡΑ$\overset{Φ}{\text{Δ}}$ΙΔΑC, Φ corr. ex Δ | spat. post ΜЄΛΑΝ | ΔΙ || 67 sq. interstitia post ΠΟΙΚΙΛΟΝ et ΩCΠЄΡ | κατὰ μυὸς, cf. κατ' ὤμου III 3, μῦν προσβαλέω III 85; Δάου τιμή = Δᾶος, ex tragicorum consuetudine, cf. Aesch. Prom. 1091: μητρὸς σέβας, Choeph. 398: χθονίων τε τιμαί (= θεοὶ χθόνιοι); nota sunt βίη, ἴς, κραδίη, κάρα τοῦ δεῖνος = ὁ δεῖνα

V

ΚΥΔΙΛΛΑ

μή, τατί, ἀλλὰ νῦν μὲν αὐτὸν — οὕτω σοι
ζ]ῴη Βατυλλίς, κήπίδοις μὲν ἐλθοῦσαν
ἐς ἀνδρὸς οἶκον καὶ τέκν' ἀγκάλαις ἄραις —
ἄφες· παραιτεῦμαί σε τὴν μίαν ταύτην
ἁμαρτίην —

ΒΙΤΙΝΝΑ

Κύδιλλα, μή με λυπεῖτε,
ἢ φεύξομ' ἐκ τῆς οἰκίης. ἀφέω τοῦτον
τ[ὸ]ν ἑπτάδουλον; καὶ τίς οὐκ ἀπαντῶσα
ἔς μευ δικαίως τὸ πρόσωπον ἐμπτύοι;
οὔ, [τ]ὴν τύραννον. ἀλλ' ἐπείπερ οὐκ οἶδεν
ἄνθρωπος ὢν ἑωυτόν, αὐτίκ' εἰδήσει
ἐν τῷ μετώπῳ τὸ ἐπίγραμμα ἔχων τοῦτο.

ΚΥΔΙΛΛΑ

ἀλλ' ἔστιν εἰκὰς καὶ Γερήνι' ἐς πέμπτην —

---

69 ΜΗ ΤΑΤΊ, deinde interstitium; non fuit ΠΑΤΊ. τατία = τατᾶ III 79, cf. τατανίζειν I 60. VI 77 | CΩ (οι suprascr.), corr. m. rec., ut videtur ‖ 70 _ΩΙΗ | ΜΙΕΝ, μιν (Rth) voluit m. rec.? ‖ 71 ΑΓΚΆΛΛΑΙC, incertum signum super Α ‖ 73 ΛΥΠΙΤΕΜΕ, corr. Rth, alii aliud ‖ 74 Η | interstitium post ΟΙΚΙΗC ‖ 75 interstitium post ΔΟΥΛΟΝ ‖ 77 ΟΥ ΙΗΝ, suppl. Palmer Danielsson conl. οὐ τὸν Δία sim., ὅς τὴν τύραννον cum aposiopesi Hw | ΕΠΕΠΕΙΠΕΡ ‖ 78 ΙΔΗCΙ ‖ 79 ΜΕΤΩΠΩ ‖ 80 ΑΛΛΕCΤΙΝΙΚΑC, sub ΙΝ ft. alius litterae vestigia pellucent

---

75 Eustath. (Suet. περὶ βλασφημιῶν) Od. ε 306 p. 1542, 47: Ἱππῶναξ (fr. 75 p. 487 Bgk.) δὲ ὑπεραναβὰς τοῦτο [τὸ τρίπρατος sim.] φησίν· ἀφέω τοῦτον τὸν ἑπτάδουλον. Il. Θ 488 p. 725, 32: Ἱππῶναξ δὲ τὸν τρία ὑπεραναβὰς ἀριθμὸν ἑπτάδουλον ἔφη τινά. Suet. Mill. Miscell. p. 426: παρ' Ἱππώνακτι δὲ καὶ ἑπτάδουλος καὶ ἑπτάβουλος. Herondae verba errore aut Eustathii aut Suetonii Hipponacti tributa, qui ἑπτάδουλος verbo usus esse videtur

ΒΙΤΙΝΝΑ V

νῦν μέν σ' ἀφήσω, καὶ ἔχε τὴν χάριν ταύτη,
ἣν οὐδὲν ἧττον ἢ Βατυλλίδα στέργω,
ἐν τῇσι χερσὶ τῆς ἐμῇσι θρέψασα.
ἐπεὰν δὲ τοῖς καμοῦσιν ἐγχυτλώσωμεν,
ἄξεις τότ' ἀμ[έ]λει τ[ὴν] ἑορτὴν ἐξ ἑορτῆς. col. 29

---

81 $\overline{\text{ΝΥΝ}}$ ‖ 83 ЄΜΗϹΙ ‖ 85 ΑΞΙϹ | ΑΜ.ΛΙΤ ΙΝ, suppl. Hicks

VI.

ΦΙ[Λ]ΙΑΖ[Ο]ΥΣΑΙ Η ΙΔΙΑΖΟΥΣΑΙ.

ΚΟΡΙΤΤΩ

Κάθησο, Μητροῖ· τῇ γυναικὶ θὲς δίφρον
ἀνασταθεῖσ[α]· πάντα δεῖ με προστάττειν
αὐτήν, σὺ δ' οὐδὲν ἄν, τάλαινα, ποιήσαις
αὐτὴ ἀπὸ σαυτῆς· μᾶ, λίθος τις, οὐ δούλη,
ἐν τῇ οἰκίῃ ⟨κ⟩εῖσ'· ἀλλὰ τἄλφιτ' ἢν μετρέω,
τὰ κρῖμν' ἀμιθρεῖς, κὴ τοσοῦτ' ἀποστάξει,
τὴν ἡμέ[ρ]ην ὅλην σε τονθορύζουσαν
καὶ πρημονῶσαν οὐ φέρουσιν οἱ τοῖχοι.
νῦν αὐτὸν ἐκμάσσεις τε καὶ ποεῖς λαμπρόν,
ὅτ' ἐστὶ χρ[εί]η, ληστρί; θῦέ μοι ταύτῃ,
ἐπεί σ' ἔγε[υσ]' ἂν τῶν ἐμῶν ἐγὼ χειρέων.

ΦΙΛΙΑΖΟΥCΑΙ, lectio certa (non fuit ΦΑΛΛΙΑΖΟΥCΑΙ, quae Kaibelii est coniectura) ‖ 1 ΓΥΝΑΙΚΙΔΘ (fuerat Ο) ЄC, Δ del. m. pr. ‖ 2 ΑΝΑCΤΑΘЄΙC. | ΠΡΟCΤΑΤΤΙΝ ‖ 3 spat. ante CΥΔΟΥ ΔЄ́Ν, lineolas evanidas add. m. rec., quas *οὐδ' ἓν* interpretatus est Bch ‖ 5 ΜЄΤΡЄΩ (Η supra), Η add. et del. m. pr.: domina servae *demensum* dat ‖ 6 ΑΜΙΘΡЄΙC | ΚΗ = *καὶ εἰ*? Rth; alii *κὴν — ἀποστάξῃ* ‖ 9 ЄΚΜΑCCΙC | ΠΟΙC ‖ 10 suppl. Kb Bch Cr, Η litterae vestigia servata; fuit ΧΡΙΗ (Є supra) ‖ 11 suppl. Rth Kb | ΧЄΙΡΩΝ, cf. VII 3

ΜΗΤΡΩ

φίλη Κοριττοῖ, ταὐτό μοι ζυγὸν τρίβεις·
κἠγὼ ἐπιβρύχουσα ἡμέρην τε καὶ νύκτα
κύων ὑλακτέω ταῖ⟨ς⟩ ἀνωνύμοις ταύταις.
ἀλλ' οὕνεκεν πρός σ' [ἦλθ]ον —

ΚΟΡΙΤΤΩ

ἐκποδὼν ἡμῖν
φθείρεσθε, νώβυστρα, ὦ[τα] μοῦνον καὶ γλῶσσαι,
τὰ δ' ἄλλ' ἑορτή.

ΜΗΤΡΩ

λίσσομα[ί σε], μὴ ψεύσῃ,
φίλη Κοριττοῖ, τίς ποτ' ἦν ὅ σοι ῥάψας col. 30
τὸν κόκκινον βαυβῶνα;

ΚΟΡΙΤΤΩ

κοῦ δ' ὁρώρηκας,
Μητροῖ, σὺ κεῖνον;

ΜΗΤΡΩ

Νοσσὶς ε[ἶ]χεν ἠρίννης
τριτημέρῃ νιν· μᾶ, καλόν τι δώρημα.

ΚΟΡΙΤΤΩ

Νοσσίς; κόθεν λαβοῦσα;

ΜΗΤΡΩ

διαβαλεῖς ἥν σοι
εἴπω;

---

12 ΦΙΛΗ | spat. ante ΤΑΥΤΟΜ..Ι, ultimae litterae incertae | ΤΡΙΒΕΙϹ ‖ 15 ΠΡΟϹϹ. .-ΟΝ, spatium ‖ 16 ΦΘΙΡΕϹΘΕΝΩΒΥϹΤΡΑ Ω . - Μ, suppl. Hck ‖ 17 ΕΟΡΤΗΙ; spat., ἑορταί Bch ‖ 18 ϹϹΙ (σεν?), lectio incerta ‖ 19 ΚΟΝΚΙΝΟΝ, κ add. m. pr. | spat. ante ΚΟΥ ‖ 20 ΜΗΤΡΟΙ | ΚΙΝΟΝ ‖ 21 ΤΡΙΤΗΜΕΡΗ ΝΙΝ, spat., cf. III 24 ‖ 22 ΝΟϹϹΙϹ | spat. ante ΔΙΑΒΑΛΙϹ ‖ 23 ΕΙΠΩ, spatium

VI

ΚΟΡΙΤΤΩ

μὰ τούτους τοὺς γλυκέας, φίλη Μητροῖ
ἐκ τοῦ Κοριττοῦς στόματος οὐδεὶς μὴ ἀκούσῃ
ὅσ' ἂν σὺ λέξῃς.

ΜΗΤΡΩ

ἡ Βιτᾶτος Εὐβούλη
ἔδωκεν αὐτῇ καὶ εἶπε μηδέν' αἰσθέσθαι.

ΚΟΡΙΤΤΩ

γυναῖκες, αὕτη μ' ἡ γυνή ποτ' ἐκτρίψει.
ἐγὼ μὲν αὐτὴν λιπαρεῦσαν ᾐδέσθην
κἤδωκα, Μητροῖ, πρόσθεν ἢ αὐτὴ χρήσασθαι.
ἡ δ' ὥ⟨σ⟩περ εὕρημ' ἁρπάσα⟨σα⟩ δωρεῖται
καὶ ταῖσι μὴ δεῖ· χαιρέτω φίλη πολλὰ
ἐοῦσα τοίη, χἠτέρην τιν' ἀνθ' ἡμέων
φίλην ἀθρείτω τἄλλα. Νοσσίδι χρῆσθαι,
τῇ μή, δοκέω, — μέζον μὲν [ἢ] γυν[ὴ γρ]ύξω
λάθοιμι δ', Ἀδρήστεια — χιλίων εὔντων
ἕνα οὐκ ἂν ὅστις λεπρός ἐστι προσδώσω.

---

24 ͞ΕΚ | ΟΥΔΕ̇ΙC ‖ 25 spat. ante ΗΒΙΤΑΤΟC, Βῖ- notavit, nam ¯ pro paragrapho non accipiendum ‖ 26 ͞ΕΔΩΚΕΝ ‖ 27 ͞ΓΥΝΑΙΚΕC | ΕΚΤΡΙΨΙ ‖ 30 ΑΡΠΑCΑΔΩΡΙΤΑΙ, haplographia ‖ 31 ΔΙ, spat: ‖ 33 ΑΘΡΙΤΩ | ΧΡΗCΘ (AI superscr.) ‖ 34 ΜΕΝΗΓΥΝΗΓ·ΥΞΩ (ΗΔΙΚΗΓΡΥΞΑΙ superscr.), μὴ δοκέω . . . ἢ δίκη γρύξαι, sicut IV 69, coniecit m. rec., loci structura non satis perspecta, cf. I 35. III 36. De Μηδόκεω nomine (W) ne cogites ‖ 35 ΑΔΡΗCΤΘΑ, Ι ex Ε | εὔντων si habeam, nam προσδοίην h. l. = praebeam ‖ 36 ΛΕΠΡΟC, CA add. et del. m. rec., cui plerique obtemperaverunt | ἔς τι W | ΠΡΟCΔΩΘΕΩ (ΟΙ ΞΝ superscr.), corr. ad regulas scholae, sed ἂν c. fut. coniunctum a sermone mulierum non alienum, nam ut epicum est (Ξ 267 ἐγὼ δέ κε — δώσω, Α 139, cf. G. Hermann, Op. I p. 28 sqq.), ita volgare (Luc. Sol. 2 III p. 555 συνήσων ἂν κτλ., Anacreont. 15, 30 πιοῦσα δ' ἂν χορεύσω — συγκαλύψω, quod perperam mutaverunt)

ΜΗΤΡΩ VI

μὴ δή, Κοριττοῖ, τὴν χολὴν ἐπὶ ῥινὸς col. 31
ἔχ' εὐθύς, ἤν τι ῥῆμα μὴ σοφὸν πεύθῃ.
γυναικός ἐστι κρηγύης φέρειν πάντα.
ἐγὼ δὲ τούτων αἰτίη λαλεῦσ' εἰμί·
— ⟨ἤ⟩ πολλὰ τήν μευ γλῶσσαν ἐκτεμεῖν δεῖται.
ἐκεῖνο δ' οὗ σοι καὶ μάλιστ' ἐπεμνήσθην,
τίς ἔσθ' ὁ ῥάψας αὐτόν; εἰ φιλεῖς μ', εἶπον.
τί μ' ἐνβλέπεις γελῶσα; νῦν ὁρώρηκας
Μητροῦν τὸ πρῶτον; ἢ τί τἀβρά σοι ταῦτα;
ἐνεύχομαι, Κοριττί, μή μ' ἐπιψεύσῃ,
ἀλλ' εἰπὲ τὸν ῥάψαντα.

ΚΟΡΙΤΤΩ

μᾶ, τί μοι ἐνεύχῃ;
Κέρδων ἔρραψε.

ΜΗΤΡΩ

κοῖος, εἰπέ μοι, Κέρδων;
δύ' εἰσὶ γὰρ Κέρδωνες, εἷς μὲν ὁ γλαυκός,
ὁ Μυρταλῖνης τῆς Κυλαιθίδος γείτων·
ἀλλ' οὗτος οὐδ' ἂν πλῆκτρον ἐς λύρην ῥάψαι·
ὁ δ' ἕτερος ἐγγὺς τῆς συνοικίης οἰκέων

38 $\overset{\text{ΚΑΛ}}{\text{ΣΟΦΟΝ}}$, καλόν correctoris coniectura temeraria (cf. Stob.), quam nollem plerique secuti essent ‖ 39 ΦΕΡΙΝ ‖ 40 ΙΜΙ ‖ 41 initio syllaba deest, ⟨τὰ⟩ πολλὰ sive Πόλλις δὲ Bch | ΕΚΤΕΜΙΝΔΙΤΑΙ | δεῖται, scil. Coritto, an δ. = δεῖ? ‖ 43 ΕΙ ΦΙΛΙΣΜΙΠΟΝ ‖ 44 sq. spat. ante ΝΥΝ et Η ‖ 47 ΑΛΛΙΠΕ | spatium ante ΜΑ | ΤΙ (Kb) vetus scriptura, quamquam in papyro Η (⟨μ⟩ὴ, ἤ?) potius legitur ‖ 47 ΚΕΡΔΩΝ ‖ 49 ΔΥΙΣΙ | spat. ante ΙΣ ‖ 50 ΓΙΤΩΝ | an Κυλαίθιδος? ‖ 52 ΟΙΚ(Ε)ΩΝ

37—39 Stob. Flor. LXXIV 14: Ἡρώδου (Ῥώδα A) μιμιάμβων· Μὴ δή, κόρη, τυ τὴν χολὴν ἐπὶ ῥῖνας | ἔχ' εὐθύς, ἤν τι ῥῆμα μὴ σοφὸν πεύθῃ. | γυναικός κτλ. ‖ 46 Hes. ἐνεύχεσθαι· τὸ δεόμενον ... ἐξορῆσαι (exorare) τὸν ἀξιούμενον.

VI τῆς Ἑρμοδώρου, τὴν πλατεῖαν ἐκβάντι,
ἦν μέν κοτ', ἦν τις, ἀλλὰ νῦν γεγήρακε·
col. 32 τούτῳ [Κυλ]αιθὶς ἡ μακαρῖτις ἐχρῆτο —
μνησθεῖεν αὐτῆς οἵτινες προσήκουσι.

ΚΟΡΙΤΤΩ

οὐδέτερος αὐτῶν ἐστιν, ὡς λέγεις, Μητροῖ.
ἀλλ' οὗτος οὐκ' οἶδ' ἢ Χίου τις ἢ 'ρυθρέων
ἥκει· φαλακρός, μικκός· Αὐτὸ ἐρεῖς εἶναι
Πρηξῖνον. οὐδ' ἂν σῦκον εἰκάσαι σύκῳ
ἔχοις ἂν [οὕτ]ω· πλὴν ἐπὴν λαλῇ, γνώσῃ
Κέρδων ὁτεύνεκ' ἐστὶ καὶ οὐχὶ Πρηξῖνος.
κατ' οἰκέην δ' ἐργάζετ' ἐνπολέων λάθρῃ —
τοὺς γὰρ τελῶνας πᾶσα νῦν θύρη φρίσσει —,
ἀλλ' ἔργ', ὁκοῖ' ἐστ' ἔργα τῆς Ἀθηναίης·
αὐτῆς. ὁρῆν τ[ὰς] χεῖρας, οὐχὶ Κέρδωνος
δόξεις· δ[ύω] μὲν — δύο γὰρ ἦλθ' ἔχων, Μητροῖ —
ἰδοῦσ' ἁμί[λλ]ῃ τὤμματ' ἐξεκύμηνα·
τὰ βαλλί' οὕτως ἄνδρες οὐχὶ ποιεῦσι —
αὐταὶ γάρ ἐ[σ]μεν — ὀρθά, κοὐ μόνον τοῦτο,
ἀλλ' ἡ μαλακότης ὕπνος, οἱ δ' ἱμαντίσκοι
ἔρι', οὐχ ἱμ[άντες]· εὐνοέστερον σκυτέα
col. 33 γυναικ[ὶ] διφῶσ' ἄλλον οὐκ ἂν εὑρ[ί]σ[κοις.

---

55 ΚΥΛΑΙΘΙC legi posse credo, ΠΥΜ- vel ΓΑΛΑΙΘΙC Bch | anapaestus nominum propriorum excusationem habet ‖ 57 ΟΥΔ ЄΤЄΡΟC | ὢν Kb Hw, sed neutrum illum esse ipsa Metro dixerat ‖ 59 HKI | ЄΡΙCΙΝΑΙ ‖ 60 ΙΚΑCΑΙC ‖ 63 ⁄ΚΑΤΟΙΚЄΙΝ, Є certum, ultimae litterae non prorsus certae (ΟΙΚЄΗ legit Bch): κατ' οἰκέην = κατ' οἰκείην = κατ' ἰδίαν (Athen. VIII p. 349 B). κατ' οἰκίην Rth, plerique ‖ 65 verba disposuit Bch ‖ 66 ΟΡΗΝΤ--ΧЄΙΡΑC ‖ 67 suppl. Bl ‖ 68 ΙΔΟΥCΑΜΙ--Η, suppl. Bl, ἅμ' ἰ[λλ]ᾶς Bch, sed ΩΛΛ litteris vix locus est ‖ 70 Є-ΜЄΝ, verum vidit Hw ‖ 72 suppl. Rth ‖ 73 suppl. Bch, num εὑρήσεις? cf. supra ad v. 36

ΜΗΤΡΩ VI

κῶς σῦν ἀφῆκας τὸν ἕτερον;

ΚΟΡΙΤΤΩ

τ[ί] δ' οὐ, Μητροῖ,
ἔπρηξα; κοίην δ' οὐ προσήγαγ[ο]ν πειθοῦν
αὐτῷ; φιλεῦσα, τὸ φαλακρὸν καταψῶσα,
γλυκὺν πιεῖν ἐγχεῦσα, ταταλίζουσα,
τὸ σῶμα μοῦνον οὐχὶ δοῦσα χρήσασθαι.

ΜΗΤΡΩ

ἀλλ' εἴ σε καὶ τοῦτ' ἠξίωσ', ἔδει δοῦναι.

ΚΟΡΙΤΤΩ

ἔδει γάρ, ἀλλ' ἄκαιρον οὐ πρέπον γ' εἶναι·
ἤληθεν ἡ Βιτᾶτος ἐν μέσῳ δούλη.
αὕτη γὰρ ἡμέων ἡμέρην τε καὶ νύκτα
τρίβουσα τὸν ὄνον σκωρίην πεποίηκεν,
ὅκως τὸν αὑτῆς μὴ τετρωβόλο[ν] κόψῃ.

ΜΗΤΡΩ

κῶς δ' οὗτος εὗρε πρός σε τὴν ὁδὸν ταύτην,
φίλη Κοριττοῖ; μηδὲ τοῦτό με ψεύσ[ῃ.

ΚΟΡΙΤΤΩ

ἔπεμψεν αὐτὸν Ἀρτεμῖς ἡ Κανδάτ[ου
τοῦ βυρσοδέψεω τὴν στέγην σημήνασα.

---

74 ΚΩC | Τ(-)ΔΟΥ, Δ incert.: *τί ου?* ‖ 75 ΠΙΘΟΥΝ ‖ 75 sq. post ЄΠΡΗΞΑ et ΑΥΤΩΙ interstitia ‖ 77 ΤΑΤΑΛΙΖ-ΥCΑ, lectio (Hck) conl. I 60 certa; vox a *τῆ* (*τητᾶσθαι τατᾶ*) conficta, cf. *ταντολίζω*; *tätscheln* contulit Bch ‖ 79 ΑΛΛΙ | ЄΔ^CΙ, є (?) superscriptum ‖ 80 ЄΔЄΙ | ·ΓΙΝΑΙ, *τ ιναι* Kn, *ἀλλὰ καιρὸν οὐ* (*οὖν*) *πρέποντ' εἶναι* Bch, alii; *ἀλλὰ — γὲ at certe* ‖ 81 ΗΛΗΘЄΝΓΑΡΗ, *γὰρ* ex versu 80 vel 82 iteratum; *ἦλθεν γὰρ* Rth Bch | in fine *Εὐβούλη* Kb ‖ 85 ΚΩC ‖ 87 ЄΠЄΜΨЄΝ | *Ἀρτεμῖς* Bch, cf. *Ἀρτεμισία*, *Ἀρτεμίσιος*, ΑΡΤΗΜΙC mulier Inscr. Coae 357 | ultimae litterae prorsus incertae, suppl. Rth, *Κανδᾶτος* plerique

VI ΜΗΤΡΩ

αἰεὶ μὲν Ἄρτεμῖς τι καινὸν εὑρίσκει,
πρόσω ποεῦσα τὴν προκυκλίην θάλλ[ει]ν.
ἀλλ' οὖν τότ' οὐχὶ τοὺς δύ' εἶχες ἐκλῦσαι·
col. 84 ἔδει πυθέσ[θ]αι τὸν ἕτερον τίς ἡ ἐ[κ]δοῦσα.

ΚΟΡΙΤΤΩ

ἐλιπάρεον, ὁ δ' ὤ[μ]ννεν οὐκ ἂν εἰπεῖν μοι * * *

ΜΗΤΡΩ

λέγεις ὁδόν μοι, νῦν πρὸς Ἀρτεμῖν εἶναι,
ὅκως ὁ Κ[έρ]δ[ω]ν ὅστις ἐστὶν εἰδ[ῶ ἐ]γώ.
ὑγίαινέ μ[ο]ι, [Κοριτ]τί· λαιμάτ[τω], χὤρη
ἡμῖ[ν] ἀφ[έρπειν] ἐστί.

ΚΟΡΙΤΤΩ

τὴν θύρην κλεῖσον
αὕτ[η σ]ύ μ[οι], ὠοπῶλι, κἀξαμίθρησαι,

---

89 ΑΙΕΙ, δι ει Kn, verum vidit Kb | ΕΥΡΙΚ-ΕΙ, ευρησει Kn ceterique ‖ 90 ΠΡΟCΩΠΙΕΥCΑ, in archetypo fuit fortasse ΠΟΙΕΥCΑ | A loco alieni θεοὶ προκύκλιοι Iunonis Τελείας socii Erythris | ΠΡΟΚΥΚΛΙΗΝΘΑΛΛ-Ν, ultimae litterae incertae, super ΘΑΛ Bch scriptum esse putat ΠΩΡ, ut θάλψιν per θαλπωρὴν explicet glossator, ego θάλλειν per προχωρεῖν explicatum esse opinor ‖ 91 ΙΧΕC ‖ 93 Ω-ΝΥΕΝ, non fuit quod omnes scribunt ΩΜΟCΕΝ; ὤμνυ' corrigendum, nam νε per synizesin vix accipi potest | ΕΙΠΕΙΝ, ad marg. Α (= ἄνω), in margine superiore litteris festinanter exaratis: ταυτηι γαρ, quae sequuntur incerta: και ηγαπησεν Kn, ισθι κ⟨αι⟩ πονηρ⟨ος⟩ ην Bch, denique μητροι Κ (= κάτω?). Hinc Bch: ταύτῃ γάρ, ἴσθι, καὶ πονηρὸς ἦν, Μητροῖ, post versum 93 fortasse inserendum ‖ 94 ΙΝΑΙ ‖ 95 ΙΔ[Ω Ε]ΓΩ Kn, Γ litterae lineas angulo recto scriptas iure cognoscens; εἰδ[ῆ]σω Bch conl. V 78 ‖ 96 spatium post -----ΤΙ |.χωρει Kn, χώρει plerique; ultima littera Η potius quam ΕΙ. Initium suppl. Bch, exitum Cr ‖ 97 suppl. Cr | ΚΛΙCΟΝ ‖ 98 ΑΥΤ--ΥΝ--Ω(CC?)ΟΠΩΛΙ, cf. V 42; multa tentavi, quod dedi maxime probabile; ἐξαμιθρῆσαι plerique

αἱ ἀλεκτ[ορί]δες [εἰ σ]όαι εἰσί, τῶν τε αἱρέων VI
αὐτῇσ[ι ῥίψο]ν. οὐ γὰρ ἀλλὰ πορθεῦ[σιν
ὤρν[ι]θε[ς αἱ αὔ[λε]ιαι, κὴν τρέφῃ τις ἐν κόλπῳ.

---

99 ΑΙΑΛ-ΚΤ---ΔΕCΙ-ΟΑΙ, non potest legi *αἱ ἀλκυόνιδες [γὰρ ἐσ]πέραι*; quod scripsi, probabilius quam *εἰ πάρεισι, εἰ ἀθρόαι εἰσί*; de *ἰδ-* cf. III 19. VII 14 ‖ 100 spl. Bl Cr ‖ 101 ΩΡΝ-ΘΕ-ΑΥ---ΑΙ, *ωρν.θ.....αι* Kn legerat, corr. Cr. conl. Babr. 135, 5 sim. *ὤρν[ι]θε[ς] αἱ [ἄλλ]αι* vel *αἱ [ἁβρ]αί* Cr olim, *ὤρνιθες αὗται* Bl, quo vocabulo spatium non expletur. *αὔλιαι* vel *αὔλεαι* (supra v. 63) per synizesin pronuntiandum, cf. III 71. VII 20

VII.

[Σ]ΚΥΤ[Ε]ΥΣ.

ΜΗΤΡΩ

Κέρδων, ἄγω [σ]οι τάσδε τὰς [καλάς, εἴ] τ[ι
τῶν [σ]ῶν ἔχεις αὐτῇσιν ἄξιον δεῖ[ξ]αι
χειρέων νοῆρες ἔργον.

ΚΕΡΔΩΝ

οὐ μάτην, Μητροῖ·
ἐγὼ φ[ι]λῶ σε. ταῖς γυναιξὶν οὐ θήσεις
τὴν μέζον' ἔξω σανίδα; Δριμύλῳ φωνέω·
πάλιν καθεύδεις; κόπτε, Πίστε, τὸ ῥύγχος
αὐτοῦ, μέχρις τὸν ὕπνον ἐκχέῃ πάντα·
col. 35 *μᾶλλον δὲ τὴν ἄκανθ[άν οἱ κρόκ]ῃ καλῇ*
ἐκ τοῦ τραχήλου δῆσο[ν. εἶα δή, οἰκότρι]ψ,

---

1 ΤΑΣΙ-----, suppl. Cr (an *κόρας?*), [*φίλας*] W Bl ‖ 2 ЄΧΙC | ΔΙ-ΑΙ ‖ 3 spat. ante ΟΥ | ΜΗ^Τ^ΟΙ^Ρ^Ι, fuerat ΜΗΤΟΙ = *Μητροῖ*, ΡΙ del. ᴘ add. m. rec. ‖ 4 ЄΓΩ: alteri personae vers. 3 *οὐ κτλ.* tribuit, quod propter Rth aliosque moneo | spat. post CЄ ‖ 5 ΔΡΙΜΥΛΩ, corr. Rth, cf. V 47; *Δριμύλ'*; *ὤ* Bch ‖ 6 ΚΑΘЄΥΔΙC ‖ 8 *ἁρμογ]ῇ* Bch, suppl. Cr ‖ 9 *δησο[ν..........ψ* Kn, inter *ν* et *ψ* septem tantum litteras excidisse vix recte statuit Bch; suppl. Cr, *τυρόκλεψ* vel *κέρκωψ* Bch

---

6 *Πιστὸν* servi nomen esse Helladius testatur apud Phot. Bibl. p. 532^{b} B., cf. ad V 9

κίνει ταχέως τὰ γοῦνα[τα, ἤ σε ποιή]σω, VII
τ]ρίβειν ψοφεῦντα νουθ[ετηθέντ' ἐκ] τῶνδε.
ν[ῦ]ν ἔκ μιν αὐτήν, λε[υκόπυγε, λαμπ]ρύνεις,
κ[ἤγωγ' ὑπέρ] σευ τὴ[ν ἕδρην ἀπο]ψήσω; —
ἔξεσ[θε] Μητ[ρό]ῖ. Πίστ[ε, τὴν ἄνω ἀνο]ίξας
πυ[ρ]γῖδα — μὴ τὴν ὧδ[ε, τὴν ἄνω εἶπο]ν —
τὰ χρήσιμ' ἔργα τοῦ τρ[ισοιζυροῦ σκυτέ]ος
τἀχέως ἔνεγκ' ἄνω[θε. μᾶ, φίλη Μητ]ροῖ,
οἶ' ἔργ' ἐπόψεσθ': ἡσυχῇ [μὲν ἄθρησ]ον
τὴν ἀμβαλού[χ]ην· οἰ[κίη τόδε π]ρῶτον,
Μητροῖ· τέλεων ἄρη[ρεν οὐκ ἰχν]έων ἴχνος;
θηεῖσθε χύμε[ῖ]ς, ὦ γυ[ναῖκες· ἡ πτέ]ρνη
ὀρῆθ' ὅκως πέπηγε χ[ὡς ἱμαντίσκ]οις
ἐξηρτίωται πᾶσα, κ[οὐ τὰ μὲν καλ]ῶς,

---

10 ΚΙΝΙ | ΓΟΥΝΑ----------ᴗω, supplevi exempli causa | *ψοφεῦντα* sc. *δεσμά* ‖ 11 ΤΡΙΒΙΝ | ΝΟΥΘ--------ΟΥΤΩΝΔΕ, ΟΥ deleta: scripsi *ἐκ τῶνδε* = *posthac* (Soph. OR. 235. 282. 1251 etc.) ‖ 12 ultimae litterae ΡΥΝΙϹ, non -Η: Bch papyri fibra deceptus est ‖ 13 ϹΕΥ litterarum superiores partes servatae *τὴ[ν κόνιν δ' ἀπο]ψήσω* Hdl ‖ 14 ΕΖΕϹ---ΗΤΙ-Ι, verum viderunt et Bch et Palmer, qui *ἔξεο σὺ Μ.* proposuit ‖ 15 decem litterarum lacunam statuerunt Kn Bch. De hiatu cf. II 43; possis *ἄνω κείνην* ‖ 16 ΤΟΥΤΡ (-ΤΙ? *τοὺτ* Kn) ----------- suppl. Cr. coll. 37, *τοὐπ[ινῶμα Κέρδων]ος inventum* (Hippocr., cf. *νοῆρες* v. 3) vix legi potest ‖ 17 *Μητροῖ* certum, nam Τ litterae hasta conspicitur ‖ 18 suppl. Bch ‖ 19 ΤΗΝΑΜΒΑΛΟΥΧΗΝ, nullum C litt. vestigium, ⟨σ⟩*αμβαλούχην* Headlam ceterique: *ἀ*- forma analogiis non caret | ΟΙΙ-------ΠΡΩΤΟΝ, non fuit *οἶ ἔχει* (Bch): conl. 125 supplevi exempli causa, quasi *οἰκεῖον*, *domui aptum* ‖ 20 *αρη* Kn, ΑΡΙϹ Bch, papyri fibram pro Η litterae hasta transversa agnoscens *ἄρισ[τον ἰχν]νέων* idem. Novem fere litterae exciderunt, suppl. conl. v. 118 ‖ 21 suppl. Rth alii ‖ 22 suppl. Cr, *χαλκέοις ἥλοις* Hdl Bch alii, possis *χρυσέοις* conl. Ael. v. h. IX 3, Val. Max. IX 1 ext. 4, et *κέντροις* conl. Paus. X 16, 1. Sed clavum quominus huic loco aptum esse credam impediunt Theophrasti verba char. V extr. aliique loci ‖ 23 ΕΞΗΡ(Ρ, non Ι)ΤΙΩΤΑΙ, i. e. *ἐξηρτίωται* ab *ἐξαρτιόω* (: *ἐξάρτιον* = *ναυλόω* : *ναῦλον*);

VII τὰ δ' οὐχὶ καλῶς, ἀλλὰ πά[ντα καλλίστω]ς.
τὸ χρῶμα δ' — οὕτως ὑμ[ῖν ἡ θεὸς] δοίη
col. 36 ζοῆς ὅκωσπ]ερ ἰχανᾶσθ' ἐπαυρέσθαι· —
εὑρήσετ' οὐδὲν ἄλ]λο τῷδ' ἴσον χρῶμα·
οὐ λείρι' οὔτ]ω κοὐδὲ κηρὸς ἀνθήσει.
τοίου Ἀρτεμῖς μνᾶ]ς τρεῖς ἔδωκε Κανδάτου.
ἴσον δὲ τιμὴν] τοῦτο κἤτερον χρῶμα·
κ[ἀμοὶ τοσοῦδ'· ὄμνυ]μι πάνθ' ὅσ' ἐστι ἱ[ρ]ά
χ[ὤσια, γυναῖκες], τὴν ἀληθ[ίη]ν βάζειν,
κ[αὶ νῦν τε κἤπειτ'] οὐδ' ὅσον ῥοπὴν ψεῦδος·
β[άζοντι, μᾶ, Κ]έρδωνι μὴ βίου ὄνησις

ἐξητίωται Bch conl. ἐξαίτιος (αἰτίας ἐκτὸς γεγένηται); non fuit ἐξήκρίβωται. exitum suppl. Bch Cr Hdl alii ‖ 24 suppl. Cr, πᾶ[σα παγκάλω]ς vel καλλίστω]ς Bch; πά[ντ' ἔχει καλῶ]ς Hdl Hw, ft. recte ‖ 25 YM incertum, .η Kn; supplevit Bch, cf. III 1 | 26 suppl. Cr conl. III 1 sq. 56, βίου τε χῶν] ἐριχανᾶσθ' Bch, quod minus probabile propter caesuram; finxeram ῥιχανᾶσθ' (cf. ἀναρριχᾶσθαι ῥιχνοῦσθαι Hesych., ὀριγνᾶσθαι), sed praeferendum quod proposuit Danielsson ἰχ- ‖ 27 ὅτῳ δ' ἴσον χρῶμα sim. plerique; supplevi exempli causa; undecim tantum litteras excidisse statuit Kn ‖ 28 varia tentavi; ὅκου δὲ κηρὸς ἀνθήσει plerique, sed quae K antecedit non O sed Ω dimidiata ‖ 29 undecim tantum litteras abesse statuit Kn; deinde TPIC, ante T litterae C vestigium; τοίου δέ κτλ. suppl. Bch | KANΔÂ--Y, incertum (ἢ K.?) Κανδᾶτις Bch (cf. Ὀδατις, Herod. I p. 106 L.); eandem ni fallor intellegi volt poeta quam VI 87 ‖ 30 suppl. Cr, τιμὴν — χρῶμα accusativi consulto sibi oppositi ‖ Versuum 31 sqq. primas litteras parvola papyri lacinia servata ad versus singulos recte relatas esse probabile, non certum ‖ 31 K (X,Y?) incertum, suppl. coll. 106 | ЄCTINIṔA, post alteram ι lacuna lineolaeque vestigium, fuit P, ut vidit Bl: -ιν syllaba ante vocalem scripta, ut II 51 φησιν‿ἦν ‖ 32 χ[ἡγεῖσθε μ' αἰεὶ] τὴν ἀληθ[ίη]ν βαύζειν, deinde μή [με κερδαλ]έα δίζειν Bch, dignoscere mihi videor THN ΑΛΗΘЄΙ.N ΒΑΔΙΖЄΙΝ, priorum litterarum exigua tantum vestigia servata, BA certum: βαδιζειν in βαζειν correctum, αληθειην ni fallor in αληθιην ‖ 33 ἐρέω γὰρ οὐδὲν] Bch, sed prima littera (I) aut K fuit aut I, hinc suppl. Cr conl. Theocr. XV 74 ‖ 34 suppl. Cr, βαρῦνον ἢ] Bch

κῶ[νημάτ]ων γίνοιτο καὶ χάριν πρός με VII
παῖς μὴ φέροι. οὐ γὰ]ρ ἀλλὰ μεζόνων ἤδη
οἱ βυρσοδέψαι] κερδέων ὀριγνῶνται·
μ[εῖον πονεῦντες] τὰ ἔργα τῆς τέχνης ἡμῶν
ἔχουσι, πίσ]υγγος δὲ δειλαίην οἶζὺν
καὶ πε]ῖναν [ἀθλ]έων νύκτα κἠμέρην. θάλπω
τὸν δίφρον] ἡμέων ἄχρι⟨ς⟩ ἑσπέρης, κάπτει
ὕπνου ἤδε κ]αὶ πρ[ὸς] ὄρθ[ρ]ον οὐ δοκέω τό⟨σ⟩σον
τὰ Μικίωνος κηρί' εὐπ[ετῆ ὥσθ' ἕλκειν. col. 37
κοὔπω λέγω, τρεῖς καὶ δέ[κ' οἰκέτας β]όσκω,
ὀτεύνεκ', ὦ γυναῖκες, ἀργ[οῦσιν παῖδε]ς,
οἳ κὴν ὕῃ Ζεὺς τοῦτο μοῦ[νον ἴσασ]ι
'φέρ', εἰ φέρεις τι', τἄλλα δ' ἀ[δρανεῖς κέ]αται
ὅκως νεοσσο[ὶ] τὰς κοχώνας θά[λ]π[ο]ντες.
ἀλλ' οὐ λόγων γάρ, φασίν, ἡ ἀγορὴ δεῖται,

---

